λέγει καὶ τούτῳ παραπλησίως τὸν ἀέρα, τοῦ μὲν ὕδατος
τῇ γῇ μᾶλλον προσνεμομένου τοῦ δ' ἀέρος τῷ πυρί· ἐν
δὲ ταῖς Φυσικαῖς Τέχναις ἐπὶ τὴν ἑτέραν ῥέπει δόξαν,
ὡς μήτε βάρος ἐξ αὑτοῦ μήτε κουφότητα τοῦ ἀέρος ἔχον-
τος. (43.) τὸν ἀέρα φύσει ζοφερὸν εἶναι λέγει, καὶ τούτῳ
τεκμηρίῳ χρῆται τοῦ καὶ ψυχρὸν εἶναι πρώτως· ἀντικεῖσθαι
γὰρ αὐτοῦ τὸ μὲν ζοφερὸν πρὸς τὴν λαμπρότητα τὸ δὲ ψυ-
F χρὸν πρὸς τὴν θερμότητα τοῦ πυρός. ταῦτα κινῶν ἐν τῷ
πρώτῳ τῶν Φυσικῶν Ζητημάτων πάλιν ἐν τοῖς περὶ Ἕξεων
οὐδὲν ἄλλο τὰς ἕξεις πλὴν ἀέρας εἶναί φησιν· 'ὑπὸ τούτων
γὰρ συνέχεται τὰ σώματα· καὶ τοῦ ποιὸν ἕκαστον εἶναι
τῶν ἕξει συνεχομένων αἴτιος ὁ συνέχων ἀήρ ἐστιν, ὃν
σκληρότητα μὲν ἐν σιδήρῳ πυκνότητα δ' ἐν λίθῳ λευκότητα
**1054** δ' ἐν ἀργύρῳ καλοῦσι,' | πολλὴν ἀτοπίαν καὶ μάχην τούτων
ἐχόντων· εἰ μὲν γὰρ μένει ὁποῖός ἐστι φύσει, πῶς τὸ μέλαν
ἐν τῷ μὴ λευκῷ λευκότης γίνεται καὶ τὸ μαλθακὸν ἐν τῷ
μὴ σκληρῷ σκληρότης καὶ τὸ μανὸν ἐν τῷ μὴ πυκνῷ
πυκνότης; εἰ δὲ μιγνύμενος ἐν τούτοις ἐξίσταται καὶ συν-
ομοιοῦται, πῶς ἕξις ἐστὶν ἢ δύναμις ἢ αἰτία τούτων, ὑφ'
ὧν κρατεῖται; πάσχοντος γάρ ἐστιν οὐ δρῶντος, οὐδὲ
συνέχοντος ἀλλ' ἐξασθενοῦντος ἡ τοιαύτη μεταβολή, καθ'
ἣν ἀπόλλυσι τὰς αὑτοῦ ποιότητας. καίτοι πανταχοῦ τὴν
ὕλην ἀργὸν ἐξ ἑαυτῆς καὶ ἀκίνητον ὑποκεῖσθαι ταῖς ποιό-
τησιν ἀποφαίνουσι, τὰς δὲ ποιότητας πνεύματ' οὔσας καὶ
B τόνους ἀερώδεις, οἷς ἂν ἐγγένωνται μέρεσι τῆς ὕλης, εἰδο-
ποιεῖν ἕκαστα καὶ σχηματίζειν. ταῦτα δ' οὐκ ἔνεστι λέγειν
αὐτοῖς, τὸν ἀέρα φύσει τοιοῦτον ὑποτιθεμένοις· ἕξις γὰρ